# Acta Apost. 17,17 : Paolo parla all’Areopago

Σταθεὶς δὲ [ὁ] Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου
ἔφη, Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμο-
νεστέρους ὑμᾶς θεωρῶ·
διερχόμενος γὰρ καὶ ἀνα-
θεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ
ἐπεγέγραπτο, Ἀγνώστῳ θεῷ. ὃ οὖν ἀγνοοῦντες εὐσε-
βεῖτε, τοῦτο ἐγὼ καταγγέλλω ὑμῖν.
ὁ θεὸς ὁ ποιήσας
τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ
γῆς ὑπάρχων κύριος οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ
οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θεραπεύεται προσδεό-
μενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ
πάντα·
ἐποίησέν τε ἐξ ἑνὸς πᾶν ἔθνος ἀνθρώπων
κατοικεῖν ἐπὶ παντὸς προσώπου τῆς γῆς, ὁρίσας προστε-
ταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας
αὐτῶν,
ζητεῖν τὸν θεὸν εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν
καὶ εὕροιεν, καί γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν
ὑπάρχοντα.
Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ὡς
καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν,
Τοῦ γὰρ καὶ γένος ἐσμέν.
γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ οὐκ ὀφείλομεν νομίζειν
χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμή-
σεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.
τοὺς μὲν οὖν
χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς τὰ νῦν παραγγέλλει
τοῖς ἀνθρώποις πάντας πανταχοῦ μετανοεῖν,
καθότι
ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν
δικαιοσύνῃ ἐν ἀνδρὶ ᾧ ὥρισεν, πίστιν παρασχὼν πᾶσιν
ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.
Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον,
οἱ δὲ εἶπαν, Ἀκουσόμεθά σου περὶ τούτου καὶ πάλιν.
οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.
τινὲς δὲ
ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος
ὁ Ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι Δάμαρις καὶ ἕτεροι
σὺν αὐτοῖς.